














# Ἄνθη ἑορταστικῶν λόγων, εἰς τό Ἅγιον Πάσχα.






ΜΡ ΘΥ
Η ΟΔΗΓΗΤΡΙΑ
ΙΣ ΧΣ
χειρ
Χρυσάνθου Ιερομ.
Καψαλα Αγ. Ορ. Αθον

"Εἶπε δέ Κύριος πρός Μωϋσῆν κ'Ἀαρών ἐν γῇ Αἰγύπτῳ
λέγων :ὁ μήν οὗτος ὑμῖν ἀρχή μηνῶν,..λάλησον πρός
πᾶσαν συναγωγήν υἱῶν Ἰσραήλ λέγων τῇ δεκάτῃ τοῦ μη-
νός τούτου λαβέτωσαν ἑαυτοῖς ἕκαστος πρόβατον τέλει-
ον,ἄρσεν,ἐνιαύσιον ἔσται ὑμῖν,ἀπό τῶν ἀμνῶν κ'ἀπό
τῶν ἐρίφων λήψεσθε.Καί ἔσται διατετηρημένον ἕως
τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνός τούτου,κ'σφάξου-
σιν αὐτό πρός ἑσπέραν,κ'λήψονται ἀπό τοῦ αἵματος ,
κ'θήσουσιν ἐπί τῶν δύο σταθμῶν κ'ἐπί τήν φλιάν ἐν
τοῖς οἴκοις ...κ'φάγονται τά κρέα τῇ νυκτί ταύτῃ
ὀπτά πυρί,κ'ἄζυμα ἐπί πικρίδων ἔδονται.Οὐκ ἔδεσθε
ἀπ' αὐτῶν ὠμόν,οὐδέ ἡψημένον ἐν ὕδατι,ἀλλ' ἤ ὀπτά πυ-
ρί,κεφαλήν σύν τοῖς ποσίν κ'τοῖς ἐνδοσθίοις. Οὐκ
ἀπολείψεσθε ἀπ' αὐτοῦ εἰς τό πρωΐ,κ'ὀστοῦν οὐ συν-
τρίψετε ἀπ αὐτοῦ,τά δέ καταλειπόμενα ἀπ αὐτοῦ ἕως
πρωΐ,ἐν πυρί κατακαύσετε.Οὕτω δέ φάγεσθε αὐτό,αἱ
ὀσφύες ὑμῶν περιεζωσμέναι,κ'τά ὑποδήματα ὑμῶν ἐν
τοῖς ποσίν ὑμῶν,κ'αἱ βακτηρίαι ὑμῶν ἐν ταῖς χερ-
σίν ὑμῶν,κ'ἔδεσθε αὐτό μετά σπουδῆς Π Α ΣΧ Α ἐ-
στί Κυρίῳ..κ'πατάξω πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ
ἀπό ἀνθρώπου ἕως κτήνους ..κ'ἔσται τό αἷμα ἐν ση-
μείῳ...κ'ὄψομαι τό αἷμα κ'σκεπάσω ὑμᾶς..."
(Ἔξοδος 12,1-12)





διά χειρός Αυτ. Μ.

" Ιδού αδελφέ μου, ο Κύριος Σταυρούμενος ίνα
μας εξιλεώση εκ των αμαρτιών μας κ' εθυ-
σιάσθη υπέρ του πλάσματός Του, ίνα δείξη πρός
ημάς την αγάπην Του, ίνα κ' ημείς αγαπάμε
τούς συνανθρώπους μας, καθώς ο κύριος αγάπη-
σεν ημάς ίνα μας αξιώση της Βα-
σιλείας Του· αλλιώς (διαφορετικά) θα
μείνωμεν έξω του Νυμφώνος.
Διά τούτο γρηγορείτε ίνα μή
ημάς εύρη έξω του Νυμφώνος
και κλαύσωμεν
αιωνίως."

Γ. Σάββας
Ι. Κελλίου Αγ. Νικολάου-
κ' Οσ. Νικοδήμου
του Αγιορεί-
του
Καψάλα
Άγιον
Όρος.
1984









Ιδού αδελφέ μου ο κύριος Σταυρουμενος ίνα μας
εξιλεόση εκ των αμαρτιών μας και θυσιάσθη υπέρ το
πλασματός του ίνα δίξη προς ημάς την αγάπη του
ίνα και ημείς να αγαπάμε τους συνανθρώπους μας
καθώς ο Κύριος αγάπησεν ημάς ίνα μας αξιόση της
Βασιλείας του αλλιώς θα μινομεν έξω του Νυμφώνος
διά τούτο γρηγορίτε ίνα ημάς εύρει έξω του Νυμφώνος και κλαύσω

## ΑΝΘΗ ΕΟΡΤΑΣΤΙΚΩΝ ΛΟΓΩΝ ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ

"Χριστός κατελθών πρός πάλην ᾅδου μόνος,λαβών ἀνῆλθε πολλά τῆς νίκης σκῦλα„

'Αναστάσεως ἡμέρα,κ'ἡ ἀρχή δεξιά,κ'λαμπρυνθῶμεν τῇ πανηγύρει,κ'ἀλλήλους περιπτυξώμεθα,εἴπωμεν ἀδελφοί κ'τοῖς μισοῦσιν ἡμᾶς,συγχωρήσωμεν πάντα τῇ 'Αναστάσει.Δῶμεν συγνώμην ἀλλήλοις,κ'οὕτω βοήσωμεν: Χριστός 'Ανέστη ἐκ νεκρῶν !

Χθές ὁ ἀμνός ἐσφάζετο,κ'ἐθρήνησεν Αἴγυπτος τά πρωτότοκα,σήμερον καθαρῶς ἐφύγομεν νοητόν Φαραώ κ'ἑορτάζομεν,οὐκ ἐν ζύμη κακίας κ'πονηρίας,ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας κ'ἀληθείας. Χθές συνεσταυρούμην Χριστῷ,σήμερον συνδοξάζομαι,χθές συνεθαπτόμην,σήμερον συνεγείρομαι.'Αλλά καρποφορήσωμεν τῷ ὑπέρ ἡμῶν παθόντι κ'ἀναστάντι.Καρποφορήσωμεν ἡμᾶς αὐτούς,τό τιμιώτατον Θεῷ κτῆμα κ'οἰκειότατον,ἀποδῶμεν τῇ εἰκόνι τό κατ' εἰκόνα,γνωρίσωμεν ἡμῶν τό ἀξίωμα,τιμήσωμεν τό ἀρχέτυπον,γνῶμεν τοῦ μυστηρίου τήν δύναμιν,κ'ὑπέρ τίνος Χριστός ἀπέθανε.

Γενώμεθα ὡς Χριστός,ἐπειδή κ'Χριστός ὡς ἡμεῖς,γενώμεθα θεοί δι' αὐτόν,ἐπειδή κἀκεῖνος δι' ἡμᾶς ἄνθρωπος,ἐπτώχευσεν ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν,κατῆλθεν ἵν' ὑψωθῶμεν,ἐπειράσθη ἵν' νικήσωμεν,ἀπέθανε ἵνα σώσῃ.Πάντα διδότω τις, πάντα καρποφορείτω,τῷ δόντι ἑαυτόν, λύτρον ὑπέρ ἡμῶν !

"Επί τῆς φυλακῆς μου στήσομαι" λέγει ὁ θαυμάσιος 'Αββακούμ.Καί ἔστην κ'εἶδον ἄγγελον βοῶντα :Σήμερον σωτηρία τῷ κόσμῳ,ὅσος ὁρατός,κ'ὅσος ἀόρατος.

Χριστός ἐκ νεκρῶν,συνεγείρεσθε!!

Χριστός ἐκ τάφων,ἐλευθερώθητε τῶν δεσμῶν τῆς ἁμαρτίας. Πύλαι ᾅδου ἀνοίγονται κ'θάνατος καταλύεται.

ΠΑΣΧΑ ΚΥΡΙΟΥ ΠΑΣΧΑ κ'πάλιν ἐρῶ Πάσχα.Αὕτη ἑορτῶν ἑορτή κ'πανήγυρις πανηγύρεων.Σήμερον τήν 'Ανάστασιν αὐτήν ἑορτάζομεν κ'κόσμον ὅλον ἑαυτῇ συνάγουσαν.

'Ημεῖς λόγον προσφέρομεν,τόν Θεόν Λόγον ὑμνοῦντες,ἐπ' εὐεργεσία τῆς λογικῆς φύσεως.Θεός ἦν μέν ἀεί κ'ἔστι κ'ἔσται μᾶλλον δέ,ἔστιν ἀεί.Διότι τό ἦν κ'ἔσται τμήματα ταῦτα τοῦ χρόνου κ'τῆς ρευστῆς φύσεως.'Ο Θεός εἰς ὄρος Σινᾶ,εἰς τόν Μωϋσῆ λέγει:"Ἐγώ εἰμί ὁ Ὤν,"Πέλαγος οὐσίας ἄπειρον κ'ἀόριστον,ὑπέρ πᾶσα ἔννοια κ'χρόνου κ'φύσεως.Θαυμαζόμενον ποθεῖται περισσότερον,ποθούμενον δέ καθαίρει,καθαῖρον δέ θεοειδεῖς ἐργάζεται τούς ἁγιαζομένους,κ'ὡς οἰκείους πλέον συνομιλεῖ.ΘΕΟΣ ΘΕΟΙΣ ΕΝΟΥΜΕΝΟΣ κ'ΓΝΩΡΙΖΟΜΕΝΟΣ.'Απειρον τό θεῖ-


ἡ ἀέναος ἀγαθοδότις
ΜΡ
ΘΥ
ΔΙΆ ΧΥΡΌΣ
Χ. Ν. ΛΙΌΝΔΑ
ἈΘΗΝΑΙ.

ον κ᾽δυσθεώρητον,κ᾽τοῦτο μόνον καταληπτόν αὐτοῦ, ἡ ἀπειρία.

Ὁ Θεός ἐδημιούργησε τόν ἄνθρωπον προσκυνητήν μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως,μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπί γῆς,βασιλευόμενον ἄνωθεν,ἐπίγειον κ᾽οὐράνιον,πρόσκαιρον κ᾽ἀθάνατον,πνεῦμα κ᾽σάρκα. Πνεῦμα διά τήν χάριν,σάρκα διά τήν ἔπαρσιν,Πνεῦμα ἵνα δοξάζῃ τόν εὐεργέτην,σῶμα ἵνα πάσχῃ κ᾽ πάσχον ταπεινώνεται. Λογικόν ζῶον οἰκονομούμενον κ᾽ἀλλαχοῦ μεθιστάμενον.Καί τέλος τοῦ μυστηρίου, θεούμενον,μέ τήν ἕνωσίν του μέ τόν Θεόν.Ὁ ἄνθρωπος,φθόνῳ τοῦ διαβόλου,παρέβη τήν ἐντολήν κ᾽ἐξόριστος γίνεται τοῦ παραδείσου.Παιδευθείς μέ Νόμον, Προφήτας,πολέμους,θλίψεις,ὁ τοῦ Πατρός ὅρος κ᾽Λόγος,ἐπί τήν ἰδίαν εἰκόνα χωρεῖ,κ᾽σάρκα φορεῖ διά τήν σάρκα κ᾽ψυχήν νοεράν διά τήν ἐμήν ψυχήν μίγνυται,τῷ ὁμοίῳ ,τό ὅμοιον ἀνακαθαίρων κ᾽πάντα γίνεται ἄνθρωπος,πλήν ἁμαρτίας,σάρκα λαβών ἐκ τῆς ἁγίας Παρθένου."Ὤ! τῆς καινῆς μίξεως!Ὤ! τῆς παραδόξου κράσεως.Ὁ ἄκτιστος κτίζεται,ὁ ἀχώρητος χωρεῖται,ὁ πλουτίζων πτωχεύει τήν ἐμήν σάρκα,ἵνα ἐγώ πλουτίσω τήν αὐτοῦ θεότητα!!

Η ἔξοδος ἀπό τόν παράδεισο.



Πάσχα ἑρμηνεύεται ἀπ᾽ τά Ἑβραϊκά,διάβασις. Ἱστορικῶς μέν,διά τήν φυγήν ἀπό τήν Αἴγυπτον,πρός τήν γῆν τῆς Ἐπαγγελίας,πνευματικῶς δέ,διά τήν ἐκ τῶν κάτω πρός τά ἄνω ἀνάβασιν.Ἐδόθη ὁ Μωσαϊκός νόμος εἰς βοήθεια,ἐμποδίζοντας πρός τήν εἰδωλολατρίαν κ᾽ἐγγίζων εἰς Θεόν.Καί διά τοῦτο λαμβάνεται πρόβατον ,διά τήν ἀκακίαν κ᾽τό ἔνδυμα τῆς ἀρχαίας γυμνώσεως.Τοιοῦτον τό ὑπέρ ἡμῶν σφάγιον,ἔνδυμα ἀφθαρσίας κ᾽ὕπάρχον κ᾽ὀνομαζόμενον.Τέλειον,ἄρρεν,ἐνιαύσιον.Τέλειον,οὐ μόνον διά τήν θεότητα,τῆς ὁποίας οὐδέν τελειότερον,ἀλλά κ᾽διά τήν πρόσληψιν τῆς ἀνθρωπίνης φύσεως.Ἄρρεν,ὡς ὑπέρ τοῦ Ἀδάμ προσαγόμενον,ἀλλά κ᾽ὅτι τό τεχθέν ἄρσεν ἐκ τῆς παρθένου Μαρίας,ὡς ὁ Ἡσαΐας εὐαγγελίζεται.

Ἐνιαύσιον δέ,ὡς ἥλιον Δικαιοσύνης εἰς ἑαυτόν ἐπιστρέφοντα.Ἄμωμον δέ, ὡς θεραπευτικόν ἐλαττωμάτων ἀπό κακίας.Ὁ ἀναμάρτητος Ἰησοῦς,τάς ἁμαρτίας ἡμῶν ἀνέλαβε.




ὁ ἁγ. Γρηγόριος ὁ Παλαμᾶς
«Φώτισόν μου, τό σκότος, Κύριε !»




'Εκλέγεται οὐ μόνον ἀπό ἀρνῶν ἀλλά κ'ἀπό ἐρίφων,ὅτι μή μόνον ὑπέρ δικαίων,ἀλλά κ'ἁμαρτωλῶν σφαγιάζεται.

Αἴγυπτον φεύγομεν,τήν σκυθρωπήν κ'διώκτριαν ἁμαρτίαν,κ' Φαραώ δηλ.τόν ἀόρατον τύραννον. Χρίονται μέ αἷμα αἱ παραστάδες τῶν θυρῶν δηλ.πρᾶξις κ'λόγος (κινημάτων νοῦ κ'δογμάτων καλῶς ἀνοιγομένων κ'κλειομένων ἐκ θεωρίας ).
Τελευταία πληγή εἰς διώκτας Αἰγυπτίους,ὁ θάνατος τῶν πρωτοτόκων.(θρῆνος τῶν πρωτοτόκων πονηρῶν λογισμῶν,ἤ κ'νήπια Βαβυλῶνος,ὀνομαζόμενα εἰς'Αγίαν Γραφήν,τά ὁποῖα συντρίβονται ἐπί τήν πέτραν δηλ. τόν Χριστόν ).

'Εντεῦθεν ἄρσις ζύμης...ἵνα μηδέν λείψανον ἁμαρτίας κ' ἀθέου διδασκαλίας ἐπισιτιζώμεθα. Πρός ἑσπέραν γίνεται ἡ θυσία τοῦ ἀμνοῦ,ὅτι ἐπί τῇ συντελείᾳ τῶν αἰώνων,τό ΠΑΘΟΣ τοῦ Χριστοῦ. 'Οπτώμενος ὁ 'Αμνός,ὅτι παντός ὑλώδους ἐλεύθερος ὁ Χριστός,ὁ ἐλθών ἐπί γῆς "πῦρ βαλεῖν ". 'Εφαγον μετά σπουδῆς κ'ἄζυμα μετά πικρίδων .



Κατευθυνθήτω
ἡ προσευχή μου
ὡς θυμίαμα ἐνώπιόν σου. +

Χαῖρε λιθομαργαρόχρυσον παλάτιον τοῦ Σωτῆρος Χριστοῦ, τῶν πολυτελῶν ἡ πολυτέλεια, κεχαριτωμένη - Ἄνασσα!



Ο Ω Ν
IC
XC
διά χειρός Αντων. Μ S



ὁ ὅσιος Βασίλειος, ὁ διά Χριστόν σαλός, ὁ Ρῶσσος.

Осужденіе Іисуса Христа на смерть. 30



Пригвожденіе ко кресту.

Κατά σπουδήν μέν, ἵνα μή πάθωμεν ὅτι κ'ἡ γυνή τοῦ Λώτ, γενόμενοι στήλη ἅλατος, ἐκ τῆς ἐπιστροφῆς ἐπί τό χεῖρον. Πικρίδας, λέγει, διά τό πικρόν τοῦ κατά θεόν βίου. Οὐ μοιχεύσῃς λέγει ὁ νόμος, σύ δέ οὐκ ἐπιθυμήσεις ἐκ περιέργου πάθους. Καί πάλιν λέγει οὐ καταδυναστεύσῃς τοῦ πένητος, σύ δέ καί τά δικαίως ἀποκτηθέντα ὑπάρχοντά σου, δός τοῖς πτωχοῖς, ἵνα εὐκόλωςβαστάζῃς τόν Σταυρόν κ'πλουτίσῃς τά μή ὁρώμενα αἰώνια ἀγαθά. Τάς ὀσφύας περιεζωσμένοι.." δηλ. νεκρώσαντες τά μέλη τά ἐπί τῆς γῆς, μιμούμενοι τήν ζώνην τοῦ Ἰωάννου τοῦ Προδρόμου, τοῦ μεγάλου κήρυκος τῆς ἀληθείας.




Ὁ ἀπόστ. Παῦλος γράφει : "Στῆτε οὖν περιεζωσμένοι τήν ὀσφύν ὑμῶν ἐν ἀληθείᾳ." δηλ. τό ἐπιθυμητικόν τῆς ψυχῆς προσκολλώμενον εἰς Θεόν μόνον κ'μή εἰς ἡδονάς.

Ὁ φεύγων Αἴγυπτον(τήν ἁμαρτωλήν ζωήν ) φορεῖ


ΜΡ
ΘΥ




СЕ ЧЕЛОВѢКЪ! = Ἰδοὺ ὁ ἄνθρωπος



ὑποδήματαδιά ἀσφάλεια ἀπό τόν κίνδυνο,"σκορπίων κ'ὄφεων ". Ἡ βακτηρία ἀνά χεῖρας,σημαίνει τήν τιμωρητικήν κ'διδασκαλικήν πρᾶξιν,ἐπιστρέφουσα τά λογικά πρόβατα,εἰς Ὀρθόδοξον ζωήν.Λάβε ἀπό Αἰγυπτίους,σκεύη χρυσᾶ κ'ἀργυρά καί μετά τούτων πορεύου.Ἐάν οὕτως ἐξέλθῃς Αἴγυπτον,ὁ Θεός σέ ὁδηγεῖ,εἰς τήνγῆ τῆς Ἐπαγγελίας.Τοιαύτην ἑορτήν ἑορτάζεις σήμερον.Τό αἷμα,τό χυθέν τοῦ Χριστοῦ ἐπί Σταυροῦ,λαμβάνει μέν ὁ Πατήρ οὐκ αἰτήσας, οὐδέ δεηθείς,ἀλλά διά τήν οἰκονομίαν κ'τό ἁγιασθῆναι τῷ ἀνθρωπίνῳ τοῦ Θεοῦ,τόν ἄνθρωπον,ἵνα ἐλευθερώσῃ ἡμᾶς τοῦ διαβόλου κ'πρός Ἑαυτόν ἐπαναγάγῃ διά τοῦ Υἱοῦ μεσιτεύσαντος. Ποῦ σου,θάνατε,τό κέντρον; ποῦ σου,ᾅδη,τό νῖκος; Τ ῷ Ζ ω ο π ο ι ῷ Σ τ α υ ρ ῷ τ ε θ α ν ά τ ω σ α ι .

Καινόν γάρ ἐστίν ἀεί τό νῦν γνωριζόμενον.
Θύσωμεν τῷ Θεῷ θυσίαν αἰνέσεως,ἐπί τῷ ἄνω θυσιαστήριον,εἰς τά Ἅγια τῶν Ἁγίων παρακύψωμεν.Εἴπω τό μεῖζον,ἡμᾶς αὐτούς θύσωμεν τῷ Θεῷ,μᾶλλον δέ,θύωμεν καθ' ἑκάστην ἡμέραν κ'πᾶσαν κίνησιν.Ἐπί τόν Σταυρόν ἀνέλθωμεν πρόθυμοι.Γλυκεῖς οἱ ἧλοι κ'οἱ πόνοι ἄν καί λίαν ὀδυνηροί. Τόγάρ μετά Χριστοῦ πάσχειν κ'ὑπέρ Χριστοῦ,αἱρετώτερον,ψυχοφελέστατον τοῦ τρυφᾶν μετ'ἄλλων .

Ἄν συσταυρωθῇς ὡς ὁ ληστής,γνώρισον ὡς εὐγνώμων τόν Θεόν κ'προσκύνησον κ'εἰς τόν παράδεισον εἴσελθε μετά τοῦ Ἰησοῦ.
Ὡς Ἰωσήφ κ'Νικόδημος,μύροις αὐτόν ἐνταφίασον. Γενοῦ Πέτρος ἤ Ἰωάννης,ἐπί τόν Πανάγιον Τάφον τρέχων,τήν καλήν ἅμιλλαν τῆς εὐσεβείας ἁμιλλώμενος. Μή ἀπιστήσῃς ὡς ὁ Θωμᾶς.Γενοῦ μετά τῶν δορυφορούντων ἀγγέλων,τῆς θείας Ἀναλήψεως,ψάλλων :"Τίς ἐστιν οὗτος ὁ βασιλεύς τῆς δόξης ;ὅτι Κύριος,κραταιός κ'δυνατός."δι'ὅλα ὅσα





ὁ ἁγ. Ἰωάννης Βλαδάτω ὁ Ρῶσος ὁ Ἐλεήμων -



Ἡ ἐφέστιος εἰκὼν τοῦ Πρωτάτου, ἡ Παναγία τοῦ «Ἄξιον ἐστίν», ἄνευ ἐπενδύσεως

ἐποίησε κ'ποιεῖ καί τῷ νῦν πολέμῳ κ'τροπαίῳ περί τῆς ἀνθρωπότητος. Ἐπί τό πλανώμενον πρόβατον, ἦλθε ὁ Ποιμήν ὁ καλός κ'εὑρών αὐτό, ἐπί τῶν ὤμων ἀνέλαβε κ'ἐπανήγαγεν ἐπί τήν ἄνω ζωήν.




..Λύχνον ἀνάψας, τήν ἑαυτοῦ σάρκα, τήν οἰκίαν ἐσάρωσε, τόν κόσμον τῆς ἁμαρτίας ἀποκαθαίρων κ' τήν δραχμήν δηλ. τήν βασιλικήν εἰκόνα κεχωσμένην τοῖς πάθεσι ἐζήτησε κ'εὑρών συγκαλεῖ τάς φίλας αὐτῷ δυνάμεις κ'κοινωνούς ποιεῖται τῆς εὐφροσύνης. Ὁ Σωτήρ νίπτει τούς πόδας τῶν μαθητῶν, δεικνύοντας τήν ἀρίστην ὁδόν ὑψώσεως, τήν ΤΑΠΕΙΝΩΣΙΝ. Διπλοῦς ὁ Ἰησοῦς. Ἐκοπίασε, ἐπείνασε κ'ἐδάκρυσε νόμῳ φύσεως. Ὑπό τῶν μέν, τιμᾶται ὡς Θεός, ὑπό τῶν δέ, ὡς σάρξ ἀτιμάζεται.

Γεγόναμεν ἵνα εὖ πάθωμεν.

Τόν Παράδεισον ἐπιστεύθημεν, ἵνα τρυφήσωμεν. Ἐντολήν ἐλάβομεν, ἵν' εὐδοκιμήσωμεν ταύτην φυλάξαντες. Οὐκ ἀγνοοῦντος τοῦ Θεοῦ τήν πτῶσιν τοῦ Ἀδάμ, ἀλλά νομοθετοῦντος τό αὐτεξούσιον.

Πεπτώκαμεν ἐπειδή παρέβημεν τήν ἐντολήν.

Ἐδεήθημεν Θεοῦ σαρκουμένου κ'νεκρουμένου. Τά ἐν Σταυρῷ κ'Τάφῳ σημεῖα, τά μετά τόν τάφον θαύματα, τίς ἀξίως ὑμνήσει;

Ὢ! τοῦ θαύματος, τῆς ἐμῆς σωτηρίας!! Ὀλίγαι ῥανίδες Αἵματος, κόσμον ὅλον ἀναπλάττουσαι.

Ἀλλ' ὦ Π Α Σ Χ Α, τό μέγα κ'ἱερόν, κ'παντός τοῦ κόσμου καθάρσιον!! Ὦ! Λόγε Θεοῦ, κ'Φῶς κ'Ζωή κ'Σοφία, κ'Δύναμις. Χαίρω γάρ, πᾶσι Σου τοῖς ὀνόμασι. Ὦ Λόγε νοούμενε κ'ἄνθρωπε θεωρούμενε!




Ὁ τῆς δικαιοσύνης τριήμερος Ἥλιος ἀνέτειλε σήμερον κ'πᾶσαν τήν κτίσιν ἐφώτισεν. Ἀνέστη Χριστός, ἡ τῶν πεσόντων Ἀνάστασις! Ἀνέστη κ'τό τοῦ ᾅδου δεσμωτήριον ἐκενώθη. Ἀνέστη κ'τήν φθοράν τῆς φύσεως, μετήγαγεν εἰς ἀφθαρσίαν. Τόν Ἀδάμ εἰς τό ἀρχαῖον ἀξίωμα τῆς ἀθανασίας κατέστησεν. Ἥτις ἐν Χριστῷ καινή



„Ἔλαφοι" παρὰ τὰς πηγὰς τῶν ὑδάτων.

ἁγ. Μᾶρκος ὁ Εὐγενικός






Когда сказалъ имъ Іисусъ: это Я, отступили назадъ, и пали
(Ев. Іоан. гл. 18, ст. 6).

= Ὅταν εἶπε αὐτοῖς ὁ Ἰησοῦς, Ἐγώ εἰμι, ἐστράφησαν εἰς τὰ ὀπίσω κ' ἔπεσαν κατὰ γῆς. (Ἰωαν. 18, 6)



τό ὅραμα τοῦ προφήτου Ἰεζεκιήλ.



κτίσις, τῇ Ἀναστάσει ἀνακαινίζεται. Ὁ προφ. Μαλαχίας λέγει :"Ἀνατελεῖ τοῖς φοβουμένοις τόν Κύριον, Ἥλιος Δικαιοσύνης". Διά τοῦτον, τόν νοητόν Ἥλιον, τόν Ἀναστάντα Χριστόν, ἡ Ἐκκλησία γίνεται οὐρανός, οὐ σελήνην κ'ἀστέρας κ'νεφέλας ἔχουσα, ἀλλά ἁγίους διδασκάλους θεολόγους. "Αὕτη ἡ ἡμέρα ἥν ἐποίησεν ὁ Κύριος", ἀγαλλιασώμεθα πνευματικῶς κ' εὐφρανθῶμεν θεολογικῶς. Ἐκεῖ τυπικῶς τὸ Πάσχα ἐποίησε ὁ Ἰσραήλ, κ'τῶν φλιῶν θύραι ἐχρίοντο τῷ αἵματι, ἐνταῦθα φωτεινῶς τό Πάσχα ἑορτάζομεν κ'καρδίαι πιστῶν τῷ αἵματι Χριστοῦ σφραγίζονται. Ἐκεῖ, ἡ διάβασις τῆς Ἐρυθρᾶς θαλάσσης, ἐνταῦθα σωτηρία, διά τοῦ Ἁγ. Βαπτίσματος. Ἐκεῖνοι μάννα πρόσκαιρον, ἔφαγον κ'ἀπέθανον, ἡμεῖς Σῶμα Χριστοῦ ἐσθίομεν εἰς ζωήν αἰώνιον. Ἔχεις πολλούς τούς τύπους τῆς Ἀναστάσεως Χριστοῦ. Ταύτης μάρτυς, ἡ σφαγή Ἰσαάκ, ὁ λάκκος τοῦ Ἰωσήφ, ὅπου ριφθείς ὑπό ἀδελφῶν του, ἀνῆλθε ἀθάνατος, τύπος κ'ὁ λάκκος τοῦ Ἱερεμίου καί τό κῆτος τοῦ Ἰωνᾶ, ἀπό τό ὁποῖον διεσώθη τριήμερος. Ὁμοίως κ'προφ. Δανιήλ εἰς λάκκο λεόντων προτυπώνει τόν Τάφον τοῦ Σωτῆρος. Ὁ μέγας Ἰώβ προαναφωνεῖ :"Ὁ μέλλων τό μέγα κῆτος χειρώσασθαι ...ἦλθες ἐπί πηγήν θαλάσσης..ἀνοίγονταί σοι φόβῳ πύλαι θανάτου, πυλωροί δέ ᾅδου ἰδόντες σε ἔπτηξαν; "Μέγα κῆτος, τόν διάβολον λέγει τόν ὁποῖον καταργήσας ὁ Σωτήρ ἔλυσε τάς ὠδῖνας τοῦ θανάτου. Καταβάς εἰς τά κατώτερα τῆς γῆς, τά ὁποῖα πηγήν θαλάσσης ὀνομάζει, συνέτριψε πύλας χαλκᾶς κ'μοχλούς δηλ. τοῦ θανάτου.

Ὁ προφ. Σοφονίας ὑμνεῖ τόν Ἀναστάντα λέγων : "Διά τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἈΝΑΣΤΑΣΕΩΣ ΜΟΥ ..κ.λ.π." Ὁ προφητάναξ Δαυΐδ :Ὁ Θεός, τό κρῖμα σου, τῷ βασιλεῖ δός, κ'τήν δικαιοσύνην σου, τῷ υἱῷ τοῦ βασιλέως. Βασιλεύς, ἡ Θεότης κ'αὐτός Θεός Λόγος ὀνομάζεται. Υἱόν βασιλέως, τήν ἀνθρωπίνη φύσιν τοῦ σαρκωθέντος Λόγου λέγει.

Ἀκούσομεν κ'Ἱερεμίου τοῦ προφή-








Іисусъ Христосъ на судѣ Каіафы. = Ἰησοῦς Χριστὸς εἰς τὸ κριτήριον τοῦ Καϊάφα.







του, τί λέγει διά τήν Σταύρωσιν τοῦ Χριστοῦ, "Δεῦτε κ'ἐμβάλωμεν ξύλον εἰς ἄρτον αὐτοῦ . ...καί "ἔρχονται ἡμέραι-λέγει Κύριος-κ'ἀναστήσω τῷ Δαυΐδ Ἀνατολή Δικαίαν κ'βασιλεύσει βασιλεύς κ'συνήσει κ'ποιήσει κρῖμα κ' δικαιοσύνην ἐπί τῆς γῆς κ.λ.π. "Ο προφήτης ὀνομάζει "Δαυΐδ ", τόν νοούμενον ἄνθρωπον, τόν κατά Χριστόν καί "Ἀνατολή Δικαία" τήν κατά τόν Σωτῆρα ἐνεργοῦσαν Θεότητα.

Εἰς τούς "Θρήνους" :"Πνεῦμα προσώπου ἡμῶν Χριστός Κύριος, συνελήφθη ἐν διαφθοραῖς αὐτῶν, οὗ εἴπομεν, ἐν τῇ σκιᾷ Αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν " ,διά τοῦ "συνελήφθη ἐν διαφθοραῖς.."τήν Σταυρικήν θυσίαν Του προφητεύει, ὑπό τήν σκέπην κ'σκιά τοῦ Χριστοῦ, προεώρων οἱ προφῆται, τούς μέλλοντας ἐν τοῖς ἔθνεσι πιστεύειν εἰς Αὐτόν.

ΑΝΕΣΤΗ ΧΡΙΣΤΟΣ,

περί τοῦ ὁποίου λέγει ὁ προφ.Ἡσαΐας τό ὄνομα Του :"Ταχέως σκύλευσον, ὀξέως προνόμευσον κ'..λήψεται δύναμιν Δαμασκοῦ κ'σκῦλα Σαμαρείας, ἔναντι βασιλέως Ἀσσυρίων " δηλ. τήν κατάλυσιν τῶν πονηρῶν δυνάμεων κ'περί τῶν ψυχῶν τῶν εἰς Αὐτόν πιστευσάντων. Τούς ἐξ εἰδωλολατρίας εἰς χριστιανισμόν ἐλθόντας ὀνομάζει :"Δύναμιν Δαμασκοῦ ". Τούς ἐκ περιτομῆς εἰς Χριστόν πιστεύσαντας λέγει :"σκῦλα Σαμαρείας ". Βασιλέα Ἀσσυρίων, ὀνομάζει τόν διάβολον. Διά δέ τήν Σταυρικήν θυσίαν ,κάθοδον εἰς ᾅδην κ'Ἀνάστασίν Του κράζει : «..ἔδωκά σε εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμούς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους κ'ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει...λέγοντα τοῖς ἐν δεσμοῖς ἐξέλθετε κ'τοῖς ἐν τῷ σκότει ἀνακαλύφθητε.» Αὐτός ἐτραυματίσθη διά τάς ἁμαρτίας ἡμῶν ..τῷ μώλωπι Αὐτοῦ ἡμεῖς ἰάθημεν " καί "Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπί τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου κ'χιτῶνα εὐφροσύνης. Περιέθηκέ μοι , ὡς νυμφίῳ μίτραν, κ'ὡς νύμφην κατεκόσμησέ με κόσμῳ" .Ὁ Κύριος, εἰς Γεθσημανῆ λέγει:"Περίλυπος ἐστίν ἡ ψυχή μου.."ἐπ' οὐδενί τῶν γενητῶν ἀγαλλιᾷ κ' εὐφραίνεται παρά μόνῳ τῷ Πατρί






Положеніе во гробъ Господа нашего Іисуса Христа. = Ἡ κατά-
θεσις εἰς τὸν τάφον τοῦ Κυρίου Ἡμῶν
Ἰησοῦ Χριστοῦ.








κ'Κυρίῳ. Ἐνέδυσε γάρ αὐτόν τῆς Θεότητος τό ἱμάτιον κ'τόν χιτῶνα τῆς ἀληθοῦς εὐφροσύνης, ἀλλά κ'Νυμφίος ὑπάρχει τῆς Ἐκκλησίας, τήν ὁποίαν κατεκόσμησε, μέ τά χαρίσματα τοῦ Ἁγ.Πνεύματος. Σήμερον ὁ Δεσπότης, ἐσκύλευσε τόν ᾅδην, ἐγείρας τούς δεσμίους, οὕς ἀπ' αἰῶνος εἶχεν, δεινῶς κεκρατημένους .

"τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ... διατί σου τά ἱμάτια ἐρυθρά κ'τά ἐνδύματά σου ὡς ἀπό πατητοῦ ληνοῦ ;" Ὁ Ἀμνός τοῦ Θεοῦ, ἄρας εἰς ἑαυτόν τάς ἁμαρτίας τοῦ κόσμου, ἔχει ἐρυθρά ἱμάτια, "ἐκ τῶν ἐθνῶν " τά ὁποῖα ἔθνη, μηδενός ἀνθρώπων αὐτῷ συνεργοῦντος, μόνος ὑπέταξεν, καταπατήσας πᾶσαν δύναμιν τῶν πονηρῶν πνευμάτων .

Μεγάλυνον ψυχή μου, τόν ἐξαναστάντα, τριήμερον ἐκ τάφου, Χριστόν τόν Ζωοδότην !!

.."ἐμνήσθη Κύριος ἡμερῶν αἰωνίων, ὁ ἀναβιβάσας ἐκ τῆς γῆς, τόν Ποιμένα τῶν προβάτων τόν μέγα, ὁ θείς ἐν αὐτοῖς τό Πνεῦμα τό Ἅγιον "(Ἡσαΐας). Ὁ Σωτήρ ἐλθών ἐπί τά ἀπολωλότα πρόβατα, ὁ παθών δι' ἡμᾶς, τόν ὁποῖον ὁ Πατήρ ἀνέστησε κ' ὑπερύψωσε, "χαρισάμενος αὐτῷ ὄνομα τό ὑπέρ πᾶν ὄνομα ".

Ἐκ προσώπου τοῦ Χριστοῦ ὑμνεῖ ὁ Δαυΐδ τήν Ἀνάστασιν τοῦ Κυρίου λέγων : "Ἐξάγαγε ἐκ φυλακῆς τήν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου."

Μεγάλυνον ψυχή μου, τόν αἴροντα τάς ἁμαρτίας κόσμου! Αὐτός ἐστίν , "ὁ ἀγαθός παῖς πένης κ'σοφός ὑπέρ βασιλέα πρεσβύτερον κ'ἄφρονα...ἐξ οἴκου δεσμίων," ἀναστάς τριήμερος ἐξ ᾅδου, βασιλεύς κατέστη ὑπό τοῦ Πατρός ἐπί Σιών τό ἐπουράνιον Ὄρος. Βασιλεύς τῶν βασιλευόντων ὑπό ἁμαρτίας, ὁ διάβολος λέγεται, ὁ δέ ἀγαθός κ'σοφός παῖς, εἶναι ὁ δι' ἡμᾶς σαρκωθείς Θεός Λόγος.




Χαῖρε Παρθένε χαῖρε, σός γάρ υἱός ἀνέστη τριήμερος ἐκ τάφου . Εὐχαριστήσομεν τῷ Κυρίῳ τῷ διαβιβάσαντι ἡμᾶς τό πέλαγος τῆς νηστείας κ'εἰς τόν λιμένα τῆς Ἀναστάσεως ὁδηγήσαντα. Ὅπως ἐξ ᾅδου ἀνελθών, εἰς τό ἑαυτοῦ σῶμα εἰσῆλθε κ'

εὐθύς ἀνέστη ἐκ νεκρῶν,οὕτω κ'νῦν εἰσερχομένων ἡμῶν διά τῆς ἐξομοιώσεως τῶν Παθημάτων τοῦ Κυρίου εἰς τό μνῆμα τῆς ταπεινώσεως κ' μετανοίας,ὁ Χριστός κατερχόμενος ἐξ οὐρανῶν,εἰσέρχεται εἰς τό σῶμα μας εἰς τόν τάφον κ'ἑνούμενος μέ τήν ψυχήν μας ἐξανιστᾷ αὐτήν νεκράν ὑπάρχουσα,χαρίζοντας τήν δόξαν τῆς μυστικῆς Αὐτοῦ Ἀναστάσεως. Ἀνάστασις κ'δόξα Χριστοῦ, ἡ ἡμετέρα δόξα ὑπάρχει,ἡ διά τῆς αὐτοῦ Ἀναστάσεως γινομένη ἐν ἡμῖν.

"Ἅπαξ γάρ οἰκειωσάμενος τά ἡμέτερα,αὐτά τά ὁποῖα ποιεῖ ἐν ἡμῖν ὁ Κύριος,ταῦτα ἑαυτῷ ἐπιγράφεται .

Ἀνάστασις ψυχῆς,ἡ ἕνωσις ἐστί μέ τήν ὄντως αἰώνιον Ζωήν.Πρό γάρ τῆς ἑνώσεως -ἐν γνώσει κ'ὁράσει κ'αἰσθήσει- ἡ ψυχή νεκρά ἐστίν. Οὔτε ὅρασις,χωρίς αἰσθήσεως,οὔτε γνῶσις πνευματική τῶν ὑπέρ ἔννοιαν, χωρίς θεωρία τοῦ νοός.Ἀνάστασιν Χριστοῦ,οἱ πολλοί πιστεύουσι, ὀλίγοι οἱ βλέποντες ταύτην.Οἱ μή θεασάμενοι,οὐδέ δύνανται προσκυνεῖν τόν Ἰησοῦν ὡς ἅγιον κ'Κύριον. Δέν λέγομεν :"Ἀνάστασιν Χριστοῦ πιστεύσαντες ",ἀλλά τί; "Ἀνάστασιν Χριστοῦ θεασάμενοι , προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν,τόν μόνον ἀναμάρτητον". Πῶς λέγει τό Ἁγ.Πνεῦμα αὐτό,τό πρό δύο χιλιάδων ἐτῶν,τό ὁποῖον οὐκ εἴδομεν ;; Ἡ φωτοφόρος παρουσία τοῦ ΑΓ.ΠΝΕΥΜΑΤΟΣ,ὑποδεικνύει τήν Ἀνάστασίν Του,μᾶλλον δέ τόν Ἀναστάντα χαρίζεται.

Ταῦτα εἰσί τῶν χριστιανῶν,τά θεῖα μυστήρια, αὕτη ἡ δύναμις τῆς πίστεως ἡμῶν,τήν ὁποίαν οἱ ἄπιστοι,ἤ οἱ δύσπιστοι οὐχ ὁρῶσιν,οὔτε ἰδεῖν δύνανται (διότι ἄνευ ἔργων νεκρά ἡ πίστις αὐτῶν ).Τηρήσωμεν τάς ἐντολάς τοῦ Θεοῦ,μέ ὅλη τήν δύναμί μας,ἵνα κ'τῶν παρόντων κ'τῶν μελλόντων ἀγαθῶν,δηλ. τῆς θέας τοῦ Χριστοῦ ἀπολαύσωμεν. Ἀναγκαίως τῆς ἡμῶν ἑορτῆς θεάρεστος προσευχή γενέσθω ὑπέρ τοῦ πλησίον.Γενώμεθα ὡς συμπάσχοντες,εἰς τούς πάσχοντας τήν ἀνάγκην.Ἀκούσωμεν τοῦ λέγοντος :"εὔξασθε



"Εἰς τό διακόνημα"
-Ρωσσικό μοναστήρι-
Ρωσσίδα μοναχή ψάλλοντας
τους χαιρετισμούς της
Θεοτόκου.-

ὑπέρ ἀλλήλων ὅπως ἰαθῆτε".
Μέγα ὅπλον ἡ εὐχή ἐκκλησίας.
Αὐτός ὁ μόνος τότε κ'νῦν ἀγαθός
Θεός,ὁ διά τοῦ Πάσχα,τόν'Ισραήλ,
ἐκ δουλείας Αἰγύπτου ῥυσάμενος,
τόν κόσμον εἰς τήν ἐπίγνωσίν Σου
φώτισον.Πρόσδεξαι κ'ἡμῶν τόν κλαυθ-
μόν,ἀνάστησον ἡμᾶς τούς πεπτωκό-
τας εἰς πάθη χαλεπά.



'Ο ἐν τῷ Σταυρῷ βοήσας:"Διψῶ ",
δρόσισον ψυχάς δεινῶς διψώσας κ'
πεινώσας. Ῥῦσαι ἡμᾶς,ἐκ τῆς βου-
λῆς τῶν ἀνόμων,τῆς λύπης κ'τοῦ
θανάτου.Σύντριψον τῶν ἐχθρῶν τήν
ρομφαίαν. Σῶσον τόν λαόν Σου.

Μνήσθητι τῶν οἰκτιρμῶν Σου !!
Εἰ κ'πολλάκις ἡμάρτομεν,ὅμως πάλιν
ἡμῶν μνήσθητι . "Ἐπτωχεύσαμεν
σφόδρα Κύριε,ταχύ προκαταλαβέτωσαν
ἡμᾶς οἱ οἰκτιρμοί Σου . Εἰσελθέτω
ἐνώπιόν Σου,ὁ στεναγμός τῆς μετα-
νοίας ἡμῶν τῶν πεπεδημένων τῇ ἁμαρ-
τίᾳ = Κλαίομεν,ὅτι κ'οἱ λοιποί κινδυνεύουσι . Εἰ κ'
ἀνάξιοι φιλανθρωπίας,ἀλλ'ὅμως πρόβατα τῆς Ἐκκλησίας Σου.
Ποῖα θνητή γλῶσσα τολμᾷ ἀνυμνῆσαι,τάς δωρεάς τῆς
Ἀναστάσεως ; ;. Ὑπερβαίνει ἀληθῶς μέτρα κτίσεως,
τά δῶρα τῆς χάριτος.

Καί αὐτή ἡ κτίσις-ὡς ὁ Παῦλος βοᾷ -
ἀνακαινισθήσεται . Ἔπρεπε,τῆς ἰδίας εἰκόνος
καινουργουμένης κ'αὐτόν τόν οἶκον τῆς εἰ-
κόνος συνανακτίζεσθαι."Δεῖ γάρ τό
φθαρτόν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν κ'
τό θνητόν τοῦτο ἐνδύσασθαι ἀθανασίαν ."

Ὦ!Κύριε Ἰησοῦ, τό καινόν Πάσχα,
τό Ζωόθυτον θῦμα !! Ὦ τῆς μεγάλης
μεταβολῆς τῶν πραγμάτων .

Ὦ ! χαρᾶς,διαδεχομένης τήν
συμφοράν. Ἄβελ πρῶτος ὑπό
τοῦ θανάτου κατέχεται. Συνε-
χώρησε ὁ Θεός τόν θάνατον τοῦ
δικαίου Ἄβελ,διά νά γίνῃ ἀνί-
σχυρον τό θεμέλιο τοῦ ᾅδου.

Ἦλθε ἡ Βασιλεία τῆς Ζωῆς κ'
κατελύθη τοῦ θανάτου τό κράτος.





Θανάτου εορτάζομεν νέκρωσιν,ᾅδου τήν καθαίρεσιν .
Ἔγινε ἄλλη γέννησις,ἄλλο εἶδος ζωῆς .Οὗτος ὁ τόκος,διά πίστεως κυοφορεῖται,διά τοῦ Ἁγ. Βαπτίσματος εἰς φῶς ἄγεται.Τροφός τούτου ἡ Ἐκκλησία,τροφή ὁ ἄνωθεν ἄρτος,γάμος,ἡ συμβίωσις τῆς Σοφίας,τέκνα αἱ ἐλπίδες,πλοῦτος ὁ παράδεισος,τέλος δέ,ἀντί θανάτου,ἡ ἀΐδιος ζωή τῶν ἁγίων.

"Αὕτη ἡ ἡμέρα ἥν ἐποίησε ὁ Κύριος ."

Ἐν ταύτη,ποιεῖ ὁ Θεός,καινόν οὐρανόν δηλ. τό στερέωμα τῆς εἰς Χριστόν πίστεως κ'καινή γῆ δηλ. τήν ἀγαθήν καρδίαν.

Ἑορταζέτω οὖν πᾶσα κτίσις ,Πάσχα Θεοῦ τό σωτήριον !
Εἰς τήν κτίσιν ταύτην ἥλιος εἶναι ὁ καθαρός βίος,ἄστρα αἱ ἀρεταί,καρποφόρα δένδρα,ἡ ἐργασία τῶν ἐντολῶν.Περί τῆς Ἀναστάσεως, ὁ προφ. Ζαχαρίας λέγει :"οὔτε ἡμέρα..οὔτε νύξ.."(διότι πῶς δύναται νά ὀνομασθῇ ἡμέρα,τοῦ ἡλίου σκοτισθέντος κατά τήν Σταύρωσιν ; ).Ὁ μέγας Ἰώβ προαναφωνεῖ τήν κατάλυσι ᾅδου κ'θανάτου λέγων:"Ἄξεις τόν δράκοντα,ἐν ἀγκίστρῳ." Εἰς ἄγκιστρον τῆς θεότητος,ὡς δέλεαρ,ἡ σάρκα τοῦ Θεοῦ Λόγου. Κρατήσας ὁ ᾅδης,τόν αναμάρτητον Σωτῆρα,ἐκρατήθη κ' ἐνεκρώθη ὑπ αὐτοῦ .Ἐφύη τό κακόν ἐν τῷ ὄφει.Ἡττήθη ἡ Εὔα,ἡττήθη κ'ὁ Ἀδάμ.Διά τριῶν ἔλαβε τό κακόν τήν γένεσιν,διά τοῦτο εἰς



τρεῖς ἡμέρας, ἡ νόσος ἐξαφανίζεται:Ἐν μιᾷ ἡμέρα,οἱ ἄνδρες τῆς νόσου καθαίρονται,ἐν τῇ δευτέρα θεραπεύεται,τό γένος τῶν γυναικῶν,κ'τῇ τρίτη ἡμέρα καταργεῖται ὁ θάνατος κ'τοῦ ἐχθροῦ αἱ δυνάμεις ἀφανίζονται.Ὁ πανταχοῦ ὤν,διά τῆς θείας δυνάμεως κ'παντί πάρεστι κ'οὐδενός ἀπολείπεται.Ὁ Σωτήρ εἰς τόν ᾅδην μετά ψυχῆς κ'εἰς παράδεισον μετά ληστοῦ κ'ἐν οὐρανῷ μετά Πατρός κ'Πνεύματος :Ἐάν ζητεῖς,πῶς ἐν τῷ παραδείσῳ ὑπάρχων,ἐν ταῖς χερσί τοῦ Πατρός,ἑαυτόν παρατίθεται,ἑρμηνεύσει σοι ὁ ὑψηλός Ἡσαΐας λέγων :"Ἐπί τῶν χειρῶν μου,ἐζωγράφησά σου τά τείχη ", ἄρα ἐν χερσί τοῦ Πατρός περιγέγραπται ἡ Ἱερουσαλήμ,ἥτις ἐστίν ὁ Παράδεισος.Ὅπως διά τῆς περιτομῆς τῆς ἐπιτελουμένης πνευματικῶς,ἡ φύσις τό ἐμπαθές ἀποτίθεται,διά τοῦ σαββατισμοῦ τήν ἐν τῷ κακῷ ἀπραξίαν διδάσκεται, :Ἡ ζωοθυσία διδάσκει τήν σφαγή τῶν παθῶν,ἡ διάκρισις περί καθαρῶν κ'ἀκαθάρτων διδάσκει τήν ἀλλοτρίωσιν τοῦ ἀκαθάρτου βίου.

Ἡ ἐν ἑπτά ἡμέραις βρῶσις ἀζύμων κατά τήν ἑορτήν τοῦ Πάσχα,τόν παροδικόν τοῦτον χρόνον,πού ἀνακυκλοῦται μέ τάς ἑβδομάδας δεικνύει,ὡς ὁ Παῦλος λέγει :"...μηδέ ἐν ζύμη κακίας κ'πονηρίας,ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας κ'ἀληθείας" νά ἑορτάζωμεν.

ΧΘΕΣ ΣΥΝΕΘΑΠΤΟΜΗΝ ΣΟΙ ΧΡΙΣΤΕ, ΣΥΝΕΓΕΙΡΟΜΑΙ
ΣΗΜΕΡΟΝ ΑΝΑΣΤΑΝΤΙ ΣΟΙ .

Διά τῶν πικρίδων,τονίζεται ἡ ἀνάγκη τῆς ἐγκρατείας. Ἐπειδή πᾶσα παιδεία πρός τό παρόν εἶναι λυπηρά. Τήν τεσσαρεσκαιδεκάτην (14) τοῦ μηνός Νισάν,ὁρίζει ὁ Μωσαϊκός νόμος τό Π Α Σ Χ Α :Ὅπως τό αἰσθητόν φῶς τῆς πανσελήνου ἐκείνης ἡμέρας διά πάσης νυκτός κ'ἡμέρας,ἀπαράδεκτον εἶναι διά τῆς



"τί ἔστι χαῖρε. Ζῆσαι ἐν κυρίῳ, ἐν τῇ νεκρώσει τοῦ παλαιοῦ ἀνθρώπου! Κύριον ἐρωτευόμεθα, τόν ἀληθινόν ἔρωτα, τόν ἀπρόσιτον πόθον, τόν μόνον δεσπότην. Χριστῷ προσέλθετε ἔτι κ' ἔτι πίστει (= ὀρθοδοξία) κ' σώζεσθε"
(Ἁγ. Θεοδώρου τοῦ Στουδίτου)

# Μεγαλυνάρια. Ὠδή θ'. Ἦχος α'.

Ὁ Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε· ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου.

Μεγάλυνον ψυχή μου, τόν ἐξαναστάντα, τριήμερον ἐκ τάφου, Χριστόν τόν Ζωοδότην.

Μεγάλυνον ψυχή μου, τόν ἐθελουσίως παθόντα καί ταφέντα, καί ἐξαναστάντα τριήμερον ἐκ τάφου.

Χριστός τό καινόν Πάσχα, τό ζωόθυτον θῦμα, ἀμνός Θεοῦ ὁ αἴρων, τήν ἁμαρτίαν κόσμου.

Μαγδαληνή Μαρία, προσέδραμε τῷ τάφῳ, καί τόν Χριστόν ἰδοῦσα, ὡς κηπουρόν ἠρώτα.

Ἄγγελος ἐξαστράπτων ταῖς γυναιξίν ἐβόα· παύσασθε τῶν δακρύων ὅτι Χριστός ἀνέστη.

Ἐξύπνισας ὑπνώσας, νεκρούς τούς ἀπ' αἰῶνος, βασιλικῶς βρυχήσας ὡς ἐξ Ἰούδα λέων.

Ὁ Χριστός ἀνέστη, τόν θάνατον πατήσας, καί τούς νεκρούς ἐγείρας, λαοί ἀγαλλιᾶσθε.

Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καί χαίρει, ὅτι Χριστός ἀνέστη, καί ᾅδης ἐσκυλεύθη.

Σήμερον ὁ Δεσπότης, ἐσκύλευσε τόν ᾅδην, ἐγείρας τούς δεσμίους, οὕς ἀπ' αἰῶνος εἶχε, δεινῶς κεκρατημένους.

Δόξα. Μεγάλυνον ψυχή μου, τῆς Τρισυποστάτου, καί ἀδιαιρέτου Θεότητος τό κράτος.

Καί νῦν. Χαῖρε Παρθένε χαῖρε, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, σός γάρ Υἱός ἀνέστη τριήμερος ἐκ τάφου.

ἐπιμιξίας τοῦ σκότους, τοῦτο ὁ πνευματικός νόμος θέλει νά γίνεται σύμβολο, διά τούς ἑορτάζοντας πνευματικῶς δηλ. ἕν Πάσχα φωτεινόν, ὅλον τόν χρόνον τῆς ζωῆς αὐτῶν, χωρίς ἔργων σκότους.

ΣΥΝΕΣΤΑΥΡΟΥΜΗΝ ΣΟΙ ΧΡΙΣΤΕ, ΑΥΤΟΣ ΜΕ ΣΥΝΔΟΞΑΣΟΝ ΣΩΤΗΡ
ΕΝ ΤΗ ΒΑΣΙΛΕΙΑ ΣΟΥ !

'Ο ἀπόστ. Παῦλος φανερώνει τό μυστήριον τοῦ Σταυροῦ γράφων :" ... ..τί τό πλάτος κ'μῆκος, τό βάθος κ'ὕψος, γνῶναι τήν ὑπερβάλλουσα ἀγάπην τῆς γνώσεως τοῦ Χριστοῦ "δηλ. τά πάντα διακρατοῦνται ἀπό τήν θείαν Πρόνοια. Σημαίνει διά τοῦ ὕψους τό ὑπερκείμενον, διά τοῦ βάθους τό ὑποχθόνιον, μῆκος κ'πλάτος τά πέρατα. Οὕτω, τό σχῆμα τοῦ Σταυροῦ, ἐγχαράσσεται εἰς τήν διάνοιάν σου. Περί τούτου κ'Δαυϊδ λέγει: "Εάν ἀναβῶ εἰς τόν οὐρανόν(τοῦτο τό ὕψος), ἐάν καταβῶ εἰς τόν ᾅδην(τοῦτο τό βάθος), ἐάν ἀναλάβοιμι τάς πτέρυγας μου κατ' ὄρθρον δηλ. ἀνατολή (τοῦτο τό πλάτος) κ' κατασκηνώσω εἰς τά ἔσχατα τῆς θαλάσσης(δηλ.δύσιν) -τό μῆκος. Βλέπεις διά τούτων τόν Τίμιον Σ τ α υ ρ ό ν ; ;




Διά τοῦτο, πάλι Παῦλος λέγει, ὅπου πληρωθῆ τά πάντα τῆς πίστεως κ'ἐπιγνώσεως προσκυνεῖσθαι τόν Θεόν ἐν τῷ ὀνόματι Ἰησοῦ ὑπό οὐρανίων κ' ἐπιγείων κ'καταχθονίων. Μέ ταῦτα, κατά τό σχῆμα τοῦ Σταυροῦ μερίζει τήν προσκύνησιν Τιμίου Σταυροῦ. Τοῦτο τό "ἰῶτα" κ'ἡ"κεραία"(Ματθ.5,18), τό ὁποῖον τῶν οὐρανῶν μονιμώτερον κ'τῆς γῆς σταθερώτερον. 'Η κάθετος γραμμή "ἰῶτα" λέγεται, ἡ δέ πλάγια "κεραία"ὀνομάζεται. Διά τοῦ αἰνίγματος τούτου, τόν Ζωηφόρον Σταυρόν ὑποδεικνύει! Ο Σωτήρ λέγει :"δεῖ τόν Υἱόν ", οὐχ ἁπλῶς ἀποθανεῖν, ἀλλά σταυρωθῆναι, ἵνα γένηται θεολόγος ὁ Σταυρός, τήν παντοδύναμον ἐξουσίαν ἀνακηρύσων, τοῦ ἐπ' αὐτῷ σταυρωθέντος Χριστοῦ.

ΧΡΙΣΤΟΣ ΓΑΡ ΕΓΗΓΕΡΤΑΙ ΕΥΦΡΟΣΥΝΗ ΑΙΩΝΙΟΣ !!

Δράμωμεν κ'ἡμεῖς ἐπί τήν θέαν τοῦ παραδόξου θεάματος . Γυναῖκες μετά μύρων θεόφρονες, Πάσχα τό μυστικόν, σοῖς μαθηταῖς Χριστέ εὐηγγελίσαντο!! Φέρωμεν κ'ἡμεῖς ὡς ἀρώματα, τήν ΟΡΘΟΔΟΞΟΝ ΠΙΣΤΙΝ κ'ἀγαθήν συνείδησιν. Τοῦτο ἐστί, εὐωδία Χριστοῦ .

Αἰνέσατε, πάντα τά ἔθνη, τόν Κύριον, ὡς δυνατόν, ἐπαινέσατε Αὐτόν, πάντες οἱ λαοί, ὡς Φιλάνθρωπον, ὅτι πεσόντας κ'νεκρούς ἡμᾶς πάλι ἐζωοποίησε.

"Αὕτη ἡ ἡμέρα, ἥν ἐποίησε ὁ Κύριος ἀγαλλιασώμεθα κ' εὐφρανθῶμεν ἐν αὐτῇ " 'Ο γεωργός εἰς τό σχῆμα τοῦ ἑορτάζοντος ἑτοιμάζεται....ὁ πένης, ὡς πλούσιος καλλωπίζεται.. ὁ πρεσβύτης ὡς νέος τρέχει πρός τήν μετουσίαν τῆς εὐφροσύνης .ὁ ἀσθενής



ὁ Ἅγιος
Στάρετς
Μωϋσῆς



Ἱδρυτὴς τῆς Ὄπτινα
1782 – 1862

κ'τήν νόσον βιάζεται (ὑπομένων,ἐξομολογούμενος κ'δοξολογῶν τόν Ἀναστάντα ) Τό παιδίον ...αἰσθητῶς ἑορτάζει...:Ἡ παρθένος χαίρεται τήν ψυχήν,ὅτι τῆς ἰδίας ἐλπίδος,λαμπράν τήν ὑπόμνησιν βλέπει.Ἡ ἔγγαμος ὅλῳ τῷ πληρώματι τῆς οἰκίας ἑορτάζουσα χαίρει. Ὁ δίκαιος εὐφραίνεται κ'ὁ μή καθαρός τήν συνείδησιν,ἀναμένει τήν διόρθωσιν ἐκ τῆς μετανοίας κ'οὕτω ἡ λύπη διώκεται . Ὁ δοῦλος ἐλευθεροῦται τῷ ἀγαθῷ κ'φιλανθρώπῳ κηρύγματι τῆς Ἐκκλησίας. ΠΑΣΧΑ ΠΑΝΣΕΒΑΣΜΙΟΝ, ΗΜΙΝ ΑΝΕΤΕΙΛΕ !!

Δοξάζομεν Σου, Χριστέ,τήν Ἀνάστασιν !

Διά ταύτην τήν ἡμέραν,κληρονόμοι Θεοῦ οἱ ἄνθρωποι κ' συγκληρονόμοι Χριστοῦ .

Χαῖρε,τέρπου ἁγνή Θεοτόκε,ἐν τῇ ἐγέρσει τοῦ τόκου σου !

Ὦ! Πάσχα μέγα ,πάντας ἁγιάζον πιστούς .

Ὦ γλυκείας νομοθεσίας !Λήθην ἐποίησε τῆς πρώτης καθ' ἡμᾶς ἀποφάσεως,ἡ ἡμέρα αὐτή ,μᾶλλον δέ ἀφανισμόν τῆς καθ' ἡμῶν κατακρίσεως. Εἷς (Ἀδάμ),ἤνοιξε τότε,τοῦ θανάτου τήν εἴσοδον, δι' ἑνός (Χριστοῦ),ἡ ζωή ἀντισάγεται. Τότε,διά τοῦ θανάτου ἐξεπέσαμεν τῆς ζωῆς,νῦν ὑπό τῆς ζωῆς(δηλ. του Χριστοῦ)θανατώνεται ὁ θάνατος. Πάλιν ὁ καρπός τῆς ζωῆς,εἰς τρυφήν κ'ἐξουσίαν ἡμῖν δίδεται.

ΕΥΦΡΑΝΘΩΜΕΝ ΕΝΘΕΩΣ,ΟΤΙ ΕΚ ΤΟΥ ΤΑΦΟΥ ΩΡΑΙΟΣ, ΔΙΚΑΙΟΣΥΝΗΣ ΗΜΙΝ,ΕΛΑΜΨΕΝ ΗΛΙΟΣ.Κατελύθη τοῦ διαβόλου ἡ δύναμις κ'τό μέγα τρόπαιον τοῦΣταυροῦ θριαμβεύει !!Ἀνέστη Χριστός, τό ἡμέτερον Π Α Σ Χ Α !Ὁ Ἡσαΐας βοᾷ :"Τίς ἤκουσε τοιαῦτα,κ'τίς ἑώρακεν οὕτως ;εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ μιᾷ κ'εἰ ἐτέχθη ἔθνος εἰσάπαξ " δηλ.ἡ διά τοῦ Ἀναστάντος Χριστοῦ ἐν παντί τῷ κόσμῳ Ἐκκλησία.

Ὦ! ἱερά κ'πανέορτος ἁγία ἡμέρα!!Βασιλίς κ'κυρία,




ἑορτῶν ἑορτή,κ'πανήγυρις ἐστί πανηγύρεων . Ἀλαλάξωμεν .Ἀλαλαγμός ἐστίν ἐπινίκιος ὕμνος.Εὐφημήσωμεν σήμερον,τήνἈνάστασιν τοῦ νικητοῦ,τήν χαράν τοῦ κόσμου ! ..ἡμεῖς οἱ ποτέ ξένοιτῆς ἐπιγνώσεως τοῦ Θεοῦ,ἐπέγνωμεν τόν Ἀναστάντα,κ'ἐκπληροῦται τό ψαλμικόν λόγιον: ""Μνησθήσονται κ'ἐπιστραφήσονται πρός Κύριον πάντα τά πέρατα τῆς γῆς.."" Τί μνησθήσονται ; Τήν παλαιάν



πτῶσιν,τήν νέαν Ἀνάστασιν,τήν ἀρχαίαν παράβασιν,τήν ὕστερον διόρθωσιν!

"..κ'οὐκ εἶχεν εἶδος,οὐδέ κάλλος, ἀλλά τό εἶδος αὐτοῦ ἄτιμον "(Ἠσαΐας) Πότε ἦτο ἄτιμος; ὅταν εἰς θάνατον ἐσύρετο κ'ἠκούετο ἡ φωνή: "Ἆρον,ἆρον σταύρωσον αὐτόν,..." Φωνή προφητοκτόνων,θεομάχων, Κυριοκτόνων,μισοθέων,ὑβριστῶν τοῦ Νόμου,πολεμίων τῆς Χάριτος,συνηγόρων τοῦ διαβόλου,γεννημάτων ἐχιδνῶν,καταλάλων,ἐσκοτισμένων,ἀλαστόρων,παμφαύλων,λιθαστῶν κ' μισοκάλων...Ὁ ἔλεγχος τοῦ Σωτῆρος, ἐλυποῦσε τούς Ἰουδαίους.Ἔθος ἁμαρτωλοῖς,μισεῖν τήν συντυχίαν τῶν δικαίων. Ἄτιμος ἦτο,ὅταν ἐφραγγέλωσαν αὐτόν ,ὅταν τοῦ ἐφόρεσαν , τόν ἀκάνθινον στέφανον,...ὅταν τόν ἐσταύρωσαν. Ἀλλά βλέπε :Ὁ ἄτιμος,εἰς εὐδοξίαν μετεβάλλετο κ'ἀνέστη ἐνδυθείς εὐπρέπειαν - καθώς ψάλλει Δαυΐδ .Εὐπρέπεια,τήν ἀφθαρσία λέγει,ὁ παρ' αὐτοῖς νομιζόμενος ψιλός ἄνθρωπος,θεός ἀληθινός ἀπεδείχθη."Ἐνεδύσατο,Κύριος,δύναμιν"(Ψαλμ.92) .Δύναμιν λέγει,τήν διά σαρκός οἰκονομίαν . Πάσχα ἑρμηνεύεται ὑπέρβασις θανάτου,ὅταν ὑπερέβη τούς οἴκους τῶν Ἑβραίων,ὁ φονεύσας ἄγγελος,τά πρωτάτοκα τῶν Αἰγυπτίων. Ἀρχή ζωῆς αἰωνίου εἰς ἡμᾶς,ἡ θυσία τοῦ ἀληθινοῦ Πάσχα. Ὁ Μωϋσῆς ἐνομοθέτησε,νά λαμβάνεται τό πρόβατον,τήν δεκάτην τοῦ μηνός Νισάν,τήν δέ 14ην πρός ἑσπέραν,ἡ θυσία.Πέντε ἡμέρας μένει τό θῦμα,μέ τούς μέλλοντας νά σωθοῦν δι' αὐτοῦ.Πέντε δηλ.χρονικά διαστήματα ἀπό Ἀδάμ ἕως Νῶε,ἀπό Νῶε ἕως Ἀβραάμ,ἀπό Ἀβραάμ ἕως Μωϋσέως κ'ἀπό Μωϋσέως ἕως Χριστοῦ. Αὕτη ἡ τεσσαρεσκαιδεκάτη νοουμένη μυστικῶς .Τό δέ : "Ἐν οἰκίᾳ ΜΙΑ βρωθήσεται ὁ ἀμνός," τήν Ὀρθόδοξον Ἐκκλησίαν σημαίνει . Τοῦ γάρ Ἀμώμου θύματος ὑπέρ ἡμῶν πάσχοντος,ὁ θάνατος ἐξ Ἀδάμ λύεται κ'σῴζεται ὁ πρωτόγονος ἄνθρωπος ἐν ἡμῖν πᾶσιν ὤν,ζωογονούμενος,τῇ Ἀναστάσει τοῦ Κυρίου. Ἰησοῦ μου,τό ζῶν κ'ἄθυτον ἱερεῖον,συνανέστησας παγγενῆ τόν Ἀδάμ,ἀναστάς ἐκ τοῦ τάφου!



Διά τοῦ αἵματος τοῦ χυθέντος ὑπέρ ἡμῶν, Πνεῦμα Ἅγιον λαμβάνομεν. Ἐπειδή εἰς ἕν,ἦλθε τό αἷμα κ'τό Πνεῦμα,ἵνα διά τοῦ ὁμογενοῦς ἡμῖν αἵματος,τό μή ὁμογενές ἡμῖν ΑΓΙΟΝ ΠΝΕΥΜΑ δυνηθῶμεν λαβεῖν,κ'διά τούτου τήν εἴσοδον τοῦ θανάτου ἀποκλείσωμεν.Διπλῆ ἐστίν ἡ εἴσοδος τῷ θανάτῳ κ'διά τοῦτο διπλῆ γίνεται, ἡ σφραγίς τοῦ αἵματος ἐπί τῆς θύρας (""ἐπί

τῶν δύο σταθμῶν κ'ἐπί φλιᾶς"". Ἁμαρτία, ἡ μέν κατά τό πάθος, ἡ δέ κατά τόν λογισμόν (ὅταν μή ὑγιῆ κ'ὀρθά λογίζεται ). Ἔστιν ὁ λογισμός ὡς φλιά, δηλ. ὑπέρθυρον, τό δέ πάθος ἀνάλογον ἔχει τοῖς σταθμοῖς.

Ὅμοιο μέ τήν χρίσι εἶναι ἡ ἔνδυσις, ὅταν δηλ. τήν ἁγιότητα τοῦ Χριστοῦ ἀποκτήσομεν εἰς τήν ψυχήν μας. Οὕτω, οὔτε διά τῶν ἀλόγων παθῶν, οὔτε διά τῶν ἀφρόνων λογισμῶν, κυριεύει ἡ ἁμαρτία, οὔτε καταδυναστεύει ἡμῖν, ὁ θάνατος. Τοιοῦτο εἶναι, τό μυστήριον τῆς χρίσεως .

ΔΕΥΤΕ ΠΟΜΑ ΠΙΩΜΕΝ ΚΑΙΝΟΝ, ΑΦΘΑΡΣΙΑΣ ΠΗΓΗΝ,
ΕΚ ΤΑΦΟΥ ΟΜΒΡΗΣΑΝΤΟΣ ΧΡΙΣΤΟΥ .

Μετά τήν χρίσιν , ἡ βρῶσις τοῦ ἀμνοῦ . "Φάγονται τά κρέα, ταύτη τῇ νυκτί, ὀπτά πυρί ". Νύκτα εἶναι, ὁ παρών οὗτος αἰών. Ἡ Θεία Μετάληψις διάπυρος, δηλ. μέ ζέουσα σπουδή.




Τά ἄζυμα (δηλ. τρόπος ἁπλοῦς κ'ἄκακος), τήν κακία ὡς ζύμη ἀποβάλλοντες. Πικρίδες, εἰς τύπον τῶν ἐρχομένων θλίψεων.

Ἀπογορεύει ὁ νομοθέτης βρασμό τοῦ ἀμνοῦ εἰς τό ὕδωρ κ' ἡδύσματα, διότι ταῦτα εἶναι τύπος τῶν ἡδονῶν. Οὐ γάρ ἀναμίγνυται τρόπῳ σαρκικῷ, δύναμις πνευματική . Τό φιλήδονον, οὐ φιλόθεον . "Κεφαλήν, σύν τοῖς ποσί κ'τοῖς ἐντοσθίοις ", λέγει. Κεφαλήν δηλ. τήν πρώτην παρουσίαν Χριστοῦ ἐπί γῆς, πόδας τήν δευτέραν Αὐτοῦ παρουσίαν. Προδιαμαρτύρεται τοῖς Ἰουδαίοις, ὅτι τήν ἄδοξον παρουσία τοῦ σαρκωθέντος-σταυρωθέντος Σωτῆρος, μή χωρίσητε τῆς ἐνδόξου Β'παρουσιάς Του, ἵνα μή ἀπιστήσαντες, χωρισθῆτε ἀπ' Αὐτόν . Γνῶτε πνευματικῶς αὐτόν κ'γνώσεσθε ἐν Αὐτῷ, τόν Πατέρα. Τό δέ "Οὐκ ἀπολείψετε ἀπ' αὐτοῦ εἰς τό πρωΐ :" ὁ ἀπόστ. Παῦλος ἑρμηνεύει : Ἀνάμνησι τοῦ θείου Πάθους ποιεῖ, ἕως ἄν ἔλθῃ. Αὕτη σῴζει τούς τελοῦντας, ἕως ἡ παροῦσα νύξ παρέλθῃ κ'πρωΐ γένηται κ'Χριστός ἐπιλάμψη, διά τῆς ζωῆς ἑαυτοῦ σώζων ἡμᾶς, ὁ νῦν διά τοῦ θανάτου σῴζων, "Εἰ γάρ ἐχθροί ὄντες κατηλλάγημεν τῷ Θεῷ, διά τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. Ἠσθίετο ἐπί τῆς νυκτός τά κρέατα κ'εἰς ἡμέραν οὐχ ὑπελείπετο, ὅτι ὁ θάνατος τοῦ Χριστοῦ εἰς τήν παροῦσα ζωή μνημονεύεται, εἰς δέ τό μέλλον, ἡ Ζωή φαίνεται.

Τό περίσσευμα τῶν κρεῶν τοῦ ἀμνοῦ, πυρί κατακαίεται







«ΑΔΙΑΛΕΙΠΤΩΣ ΠΡΟΣΕΥΧΕΣΘΕ» (Α' ΘΕΣ. 5, 17)
«ΙΗΣΟΥ ΟΝΟΜΑΤΙ ΜΑΣΤΙΖΕ ΠΟΛΕΜΙΟΥΣ.»
ΙΩ. ΚΛΙΜΑΚΟΣ

ἵνα γνωρίσωμεν ὅτι κατά τόν νῦν αἰῶνα Χριστός τέθνηκε, τῇ ἁμαρτίᾳ ἐφάπαξ, οὐκέτι θάνατος αὐτοῦ κυριεύει. Ἀνέστη Χριστός, νῦν πάντα πεπλήρωται φωτός, ουρανός, γῆ κ' τά καταχθόνια!

Σχῆμα τῶν ἐσθιόντων τό Πάσχα, ὀσφύς ἐζωσμένη, ὑποδήματα ἐν ποσίν, βακτηρίαι ἀνά χεῖρας. Ὁδοιπορικόν ἅπαν τό σχῆμα, πρός ἀποδημίαν, διά τήν αἰωνιότητα. Ῥάβδος ἐστίν, ἡ πίστις κ' ἡ ἐλπίς εἰς Θεόν. Λύχνος ἐστίν, ὁ Νόμος τοῦ Θεοῦ. Ἐπί ἑπτά ἡμέρας ἡ ἄζυμος τροφή, δηλ. διά πάσης Ζωῆς, τό εἰλικρινές.

"Ὁ Θεός, ἐπίβλεψον ἐπί τό πρόσωπον τοῦ Χριστοῦ Σου, ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου, ὑπέρ χιλιάδας". Η μία ἡμέρα δηλ. τῆς ΑΝΑΣΤΑΣΕΩΣ. Μόνη δέ αὕτη, ἡ μία Κυριακή, τοῦ Σωτῆρος ἡμῶν ἡμέρα, οὐκ ἐν παντί τόπῳ φωτίζει, ἀλλ' ἐν μόναις ταῖς αὐλαῖς τοῦ Σωτῆρος (τοῦ ὁποίου ὠνείδησαν τό ἀντάλλαγμα τοῦ Χριστοῦ σου)(Ψαλμ. 88), ἀντάλλαγμα δηλ. τήν Ἐκκλησίαν, τήν πόλιν τοῦ Βασιλέως τοῦ μεγάλου.

Χαῖρε, ἡ Ὀρθόδοξος Ἐκκλησία τοῦ Χριστοῦ, χαίροις κ' φωτίζου ἡ νέα Ἱερουσαλήμ. Ἐπί σέ ἀνέτειλε τό Φῶς, φῶς τό ἀΐδιον, φῶς τό ὑπέρτατον, φῶς τό ἄϋλον, φῶς τό ὁμοούσιον τοῦ Θεοῦ κ' Πατρός, φῶς τό ἐν τῷ Πνεύματι, φῶς τό φωτίσαν τούς αἰῶνας, φῶς τό φωτίσαν τά ὑπερκόσμια κ' τά ἐγκόσμια, Χριστός ὁ ἀληθινός Θεός ἡμῶν.

Χαῖρε, ἡ πανευδαίμων νέα Σιών, ὅτι ἐβασίλευσε Κύριος ἐν μέσῳ σου, σκίρτησον σύν ἡμῖν. Μή φοβοῦ, "τό μικρόν ποίμνιον", τάς τρικυμίας τοῦ ἐχθροῦ, ὅτι εὐδόκησε ὁ Πατήρ, δοῦναι σοι τήν βασιλείαν κ' ἐπί τραχήλου τῶν ἐχθρῶν σου ἐπιβῆναι.



Εὐφραίνου κ' τέρπου, ἡ πάλαι στεῖρα κ' ἄγονος πρός εὐσέβειαν, νῦν δέ πολλά ἔχουσα τά τέκνα τῆς πίστεως. Χαίροις κ' σύ, λαός τοῦ Θεοῦ, λαός περιούσιος, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαός εἰς περιποίησιν, ἐξάγγελε τάς ἀρετάς τοῦ ἐκ σκότους σέ καλέσαντος, εἰς τό θαυμαστόν αὐτοῦ Φῶς. Ὑπέρ ἐλέους δέ δόξαζε Χριστόν!

Ἐλέησον ἡμᾶς ἡ ἄληκτος ἡμῶν χαρά.
Σύ, τῆς ἑορτῆς ἡ ἀρχή, ἡ μεσότης κ' τό τέλος.
Σύ, ὁ πολύτιμος μαργαρίτης.

Εὐλογητός ὁ Θεός! Ἐκ θαυμάτων ἐπί τά θαύματα τοῦ Ἀναστάντος βαδίσωμεν,

κ'φθάσωμεν ὡς ἐκ δυνάμεως εἰς δύναμιν . Μηδείς ἄμοιρος τῆς χάριτος,μηδείς ὑστερείτω τῆς κλήσεως,μή μείνωμεν ἔξω τοῦ Νυμφῶνος.Πάντες προθύμως κ'ὑπερκοσμίως ἑορτάσωμεν,ἐν ψαλμοῖς κ'ὕμνοις. Οἱ εὐλογοῦντες αὐτόν,εὐλόγηνται.Δεῦτε εὐλογήσωμεν τόν Αναστάντα,ἵνα εὐλογηθῶμεν ὑπ' Αὐτοῦ.

'Ανέστης ἐκ τοῦ τάφου,ὡς ἐκ παστάδος προελθών,ἵνα σώσῃς τόν κόσμον,Κύριε,δόξα σοι.

Βοήσωμεν ἀπέραντα,Δόξα τῇ 'Αγίᾳ 'Αναστάσει σου.Μέγας ὁ Κύριος ἡμῶν,κ'μεγάλη ἡ ἰσχύς αὐτοῦ,κ'τῆς συνέσεως αὐτοῦ,οὐκ ἔστιν ἀριθμός. Χαῖρε παντομνημόνευτε,εὐλογημένη σύ,παντευλόγητε κ'πᾶσι ποθητέ.'Επ εὐλογίαις Κυρίου,τό θεοχαριτώτατόν σου ὄνομα,Θεογεννήτωρ κ'δαδουχέ τῶν πιστῶν. 'Η περιγραφή,ἵν' οὕτως εἴπω,τοῦ ἀπεριγράπτου .

'Η ῥίζα τοῦ ὡραιοτάτου ἄνθους,ἡ περιοχή του περιέχοντος,τό ἱλαστήριον,ἐξ οὗ Θεός ἐγνώσθη ἀνθρώποις ἀνθρωπομόρφως,τό ἄσπιλον ἔνδυμα,τοῦ ἀναβαλλομένου φῶς ὡς ἱμάτιον .

Εὖγε,εὖγε,μήτηρ θεοῦ κ'δούλη .Πάντες μέν Θεῷ ἐποφείλομεν,σοί δέ ἐποφείλεται . 'Ο γάρ εἰπών:"Τίμα τόν πατέρα σου κ'τήν μητέρα",δοξάζει τούς μακαρίζοντας τήν ἑαυτοῦ μητέρα,διά τήν ὁποίαν,ὁ προφητικός λόγος μυσταγωγεῖ τήν πανόλβιον μεγαλειότητα αὐτῆς : "Ὡς μέγας ὁ οἶκος τοῦ Θεοῦ,κ'εὐμήκης ὁ τόπος τῆς κτήσεως αὐτοῦ "Μέγας,κ'οὐκ ἔχει τέλος,ὑψηλός κ'ἀμέτρητος .

Χαῖρε Μῆτερ Παρθένε,κ'Παρθένε Μῆτερ, νοητέ Θρόνε,δεδοξασμένε κ'Θεοῦ ἐπάξιε .

Μακαρία,σύ ἐν γενεαῖς γυναικῶν,θεομακάριστε,ὅτι διά σοῦ ἐπληρώθη ἡ γῆ,τῆς Θείας δόξης.'Εορταζέτω κ'πᾶσα ψυχή εἰς τήν καινήν παλιγενεσίαν δι' ἀναστάσεως ἀναψυχουμένη. Τοῦτο ΠΑΣΧΑ ,ἡ κοινή τῶν ὅλων πανήγυρις πατρικοῦ θελήματος ἐπί κόσμον,ἀποστολή Χριστοῦ,περί τήν γῆν ἔνθεος ἀνατολή οὐρανίων δυνάμεων ἀΐδιος ἑορτή,τοῦ παντός κόσμου ἡ ἀθάνατος ζωή,θανατηφόρος θανάτου, πηγή σωτήριος,ἀνθρώπων ἡ ἄφθαρτος οὐράνιος τρυφή,ἱερά τελετή,παλαιά κ'νέα προερμη-






νεύουσα μυστήρια, ἐν γῆ μέν ὁρατῶς βλεπόμενα, ἐν οὐρανοῖς δέ νοούμενα. Μετά σπουδῆς τό Πάσχα φάγεσθε -κελεύει ὁ νόμος-, σπουδαῖον δηλ. φιλάρετον ψυχήν, τήν ἐσθίουσα τό θεῖον κ' ἀληθινόν Πάσχα.

"Καθώς ἐφορέσαμεν τήν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν κ' τήν εἰκόνα το ἐπουρανίου ". Ἡ γάρ εἰκών τοῦ χοϊκοῦ, τήν ὁποίαν ἐφορέσαμεν ἐστίν : "Γῆ εἶ, καί εἰς γῆν ἀπελεύσῃ ". Ἡ δέ εἰκών τοῦ ἐπουρανίου, ἐστί ἡ ἐκ νεκρῶν ἀνάστασις κ' ἡ ἀφθαρσία !"..οἱ νεκροί ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες". Ὁ ἅγ. Μεθόδιος Ὀλύμπου, λέγει ὅτι νεκροί αὐτά ταῦτα τά σώματα. Ἡμεῖς οἱ ζῶντες, αἱ ψυχαί ἐσμέν, οἱ ἀπολαμβάνοντες ἐγερθέντας ἐκ γῆς τούς νεκρούς, ἵνα εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα....Δερματίνους χιτῶνας, τόν θάνατον λέγει, (νεκρώτητι περιβαλών τόν ἄνθρωπον, ὅπως διά τῆς λύσεως τοῦ σώματος πᾶν τό ἐν αὐτῷ γενηθέν κακόν ἀποθάνῃ).

Περιέχει κ' μέγα μυστήριον, ἡ κατά τόν Ἰωνᾶ ἱστορία. Διά τοῦ κήτους, νοεῖται ὁ χρόνος (μηδέποτε ἑστώς, ἀλλά πορευόμενος ἀεί) Ἰωνᾶς ἐστί, αὐτός ἐκεῖνος ὁ πρῶτος ἄνθρωπος, ὁ ἀθετήσας τήν ἐντολήν. Πλοῖον εἶναι, ἡ κατά τόν παρόντα καιρόν βραχύβιος κ' δυσάρεστος ζωή. Λιμήν, ἡ βασιλεία τῶν οὐρανῶν. Χειμών, οἱ ἐνταῦθα πειρασμοί. Ἡ ρίψις τοῦ Ἰωνᾶ εἰς θάλασσαν, κ' ὅτι κατέπιε αὐτόν τό κῆτος, ἐστί ἡ διά τοῦ θανάτου τοῦ ἀνθρώπου, ἐπιστροφή εἰς γῆν. Ἰωνᾶς τρία νυχθήμερα ἦτο ἐντός τῆς κοιλίας τοῦ κήτους. Οὕτω κ' πάντες τάς τρεῖς διαστάσεις τοῦ παρόντος αἰῶνος ποιήσαντες ἐν τῇ γῇ (ἀρχή, μεσότητα κ' τέλος, ἐκ τῶν ὁποίων ἀποτελεῖται ὁ παρών χρόνος) ἀναστησόμεθα. Τρία τά καθολικά διαστήματα τοῦ χρόνου, παρελθών, παρών κ' μέλλων.

Διά τοῦτο κ'ὁ Σωτήρ τρεῖς ἡμέρας ἐποίησε ἐν ᾅδῃ, διδάσκων σαφῶς ὅτι πληρωθέντων, τῶν προλεχθέντων διαστημάτων τοῦ χρόνου, θά γίνῃ ἡ ἀνάστασις ἡμῶν. (ἡ ὁποία ὑπάρχει ἀρχή τοῦ μέλλοντος αἰῶνος, τούτου τοῦ αἰῶνος, τέλος). Ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους οὐ κατεφθάρη, οὕτω κ'τά ἡμῶν σώματα ἐπιστρέφουν μέ τόν θάνατον εἰς τήν γῆν ἕως τῆς κοινῆς Ἀναστάσεως. "Ἐξαποστελεῖς τό πνεῦμα σου κ'κτισθήσονται κ'ἀνακαινεῖς τό πρόσωπον τῆς γῆς "

Ἡ ὀγδόη ἡμέρα ἀποτελεῖ τύπο τῆς Ἀναστάσεως. Ἔτσι λοιπόν αὐτός πού ἀξιώνεται, μετά τήν ἕκτη ἡμέρα-ὅπου διά τῶν ἀρετῶν τήν συμπληρώνει κ'μετά τήν ἑβδόμη ἡμέρα, δηλ. τό Σάββατο (ὅπου τότε, διά τῆς θεωρίας σαββατίζει κατά τόν νοῦ, ὑπερβαίνοντας πάντα τά ὄντα )ἀξιώνεται νά φθάσῃ εἰς τήν ὀγδόη ἡμέρα, ἀνασταίνεται ἐκ τῶν νεκρῶν τῶν μετά τόν Θεόν δηλ. πάντων τῶν αἰσθητῶν κ'νοητῶν λόγων κ'νοημάτων, κ'ζεῖ τήν μακαρία ζωήν τοῦ Θεοῦ.

Ἐάν ἐσταυρώθη δι' ἡμᾶς ὁ Θεός Λόγος ἀλλά κ'ἠγέρθη, τοῦτο πνευματικῶς πάντοτε κ'ποεῖ κ'πάσχει δι' ἡμᾶς. Ἔτσι σταυροῦται εἰς τούς ἀρχαρίους κατά τήν πρᾶξι, μέ τό νά καρφώνει, τίς ἐμπαθεῖς ἐνέργειές τους εἰς τό θεῖο φόβο, σάν σέ σταυρό. Ἀνίσταται δέ, σ' αὐτούς πού ἐξεδύθηκαν ὅλον τόν παλαιόν ἄνθρωπον τόν φθειρόμενο κατά τήν ἐπιθυμία τῆς ἀπάτης (Ἐφεσ.4,22) κ. ἐνεδύθησαν ὅλον τόν νέον, τόν διά Πνεύματος κατ εἰκόνα Θεοῦ κτιζόμενον (Ἐφεσ. 4,24 κ'Κολασ.3,10 )

Ἀνάστασις λέγεται ὁ Κύριος ὡς τόν νοῦν ἀνιστῶν ἐκ τῆς τῶν ὑλικῶν "νεκρᾶς " προσπαθείας, κάνοντάς τον καθαρό ἀπό πᾶσα φθορά κ'νεκρότητα.–

Αὐτῷ ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Χριστός Ἀνέστη !
Ἀληθῶς Ἀνέστη!



Ἅγιον Πάσχα 2003
Εὐλογία - τό παρόν 38 σελίδο-
τοῦ Ἱεροῦ Κελλίου Ἁγ. Νικολάου
κ' ὁσίου Νικοδήμου τοῦ
Ἁγιορείτου · Καψάλα
Ἅγ. Ὄρος . ⁜



## ΛΟΓΟΣ ΚΑΤΗΧΗΤΙΚΟΣ, ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ, ΤΟΥ
## ΑΓ. ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Εἴτις εὐσεβής κ'φιλόθεος, ἀπολαυέτω τῆς καλῆς ταύτης κ' λαμπρᾶς πανηγύρεως. Εἴτις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τήν χαράν τοῦ Κυρίου αὐτοῦ. Εἴτις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τό δηνάριον. Εἴτις ἀπό τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τό δίκαιον ὄφλημα. Εἴτις μετά τήν τρίτην ἦλθεν εὐχαρίστως ἑορτασάτω. Εἴτις μετά τήν ἕκτην ἔφθασε, μηδέν ἀμφιβαλλέτω, κ' γάρ οὐδέν ζημιοῦται. Εἴτις ὑστέρησεν εἰς τήν ἐνάτην προσελθέτω μηδέν ἐνδοιάζων. Εἴτις εἰς μόνην ἔφθασε τήνένδεκάτην, μή φοβηθῇ τήν βραδύτητα, φιλότιμος γάρ ὤν ὁ Δεσπότης, δέχεται τόν ἔσχατον, καθάπερ κ' τόν πρῶτον. Ἀναπαύει τόν τῆς ἐνδεκάτηςὡς τόν ἐργασάμενον ἀπό τῆς πρώτης. Καί τόν ὕστερον ἐλεεῖ κ' τόν πρῶτον θεραπεύει. Κἀκείνω δίδωσι κ' τούτῳ χαρίζεται. Καί τά ἔργα δέχεται κ' τήν γνώμην ἀσπάζεται. Καί τήν πρᾶξιν τιμᾷ κ' τήν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τήν χαράν τοῦ Κυρίου ἡμῶν, κ' πρῶτοι κ' δεύτεροι τόν μισθόν ἀπολαύετε. Πλούσιοι κ' πένητες, μετ' ἀλλήλων χορεύσατε. Ἐγκρατεῖς κ' ῥάθυμοι, τήν ἡμέραν τιμήσατε. Νηστεύσαντες κ' μή νηστεύσαντες, εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολύς, μηδείς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύετε, τοῦ συμποσίου τῆς πίστεως. Πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδείς θρηνείτω πενίαν, ἐφάνη γάρ ἡ κοινή βασιλεία. Μηδείς ὀδυρέσθω πταίσματα, συγνώμη γάρ ἐκ τάφου ἀνέτειλε. Μηδείς φοβείσθω θάνατον, ἠλευθέρωσε γάρ ἡμᾶς ὁ τοῦ Σωτῆρος θάνατος. Ἔσβεσεν αὐτόν ὁ ὑπ' αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τόν Ἅδην, ὁ κατελθών εἰς τόν Ἅδην. Ἐπίκρανεν αὐτόν γευσάμενον τῆς σαρκός αὐτοῦ, κ' τοῦτο προλαβών ὁ Ἡσαΐας ἐβόησεν : Ὁ Ἅδης, φησίν, ἐπικράνθη, συναντήσας σοι κάτω. Ἐπικράνθη κ' γάρ κατηργήθη. Ἐπικράνθη κ' γάρ ἐνεπαίχθη. Ἐπικράνθη κ' γάρ ἐνεκρώθη. Ἐπικράνθη κ' γάρ καθηρέθη. Ἐπικράνθη κ' γάρ ἐδεσμεύθη. Ἔλαβε σῶμα κ' Θεῷ περιέτυχεν, ἔλαβε γῆν κ' συνήντησεν οὐρανῷ. Ἔλαβεν ὅπερ ἔβλεπε κ' πέπτωκεν, ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, θάνατε, τό κέντρον ; ποῦ σου, Ἅδη, τό νῖκος ; Ἀνέστη Χριστός κ' σύ καταβέβλησαι. Ἀνέστη Χριστός, κ' πεπτώκασι δαίμονες. Ἀνέστη Χριστός κ' χαίρουσιν ἄγγελοι. Ἀνέστη Χριστός κ' ζωή πολιτεύεται. Ἀνέστη Χριστός, κ' νεκρός οὐδείς ἐπί μνήματος. Χριστός γάρ ἐγερθείς ἐκ νεκρῶν ἀπαρχή τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα κ' τό κράτος εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. —


Ἡ ἀνάστασις
Ὁ Ν
Ἁγιόρος
διὰ χειρὸς Ἀντ. Μ. δ.